A τὸ δὲ φῶς ὅτι πυρός ἐστι χρῶμα, δῆλον ἐκ τοῦ μηδεμίαν ἄλλην ἢ ταύτην ἔχον εὑρίσκεσθαι χρόαν, καὶ διὰ τὸ μόνον τοῦτο δι' ἑαυτοῦ ὁρατὸν γίνεσθαι, τὰ δ' ἄλλα διὰ τούτου. ἐπισκεπτέον δὲ τοῦτο. ἔνια γὰρ οὐκ ὄντα πῦρ, οὐδὲ πυρὸς εἴδη τὴν φύσιν, φῶς ποιεῖν φαίνεται. εἰ μὴ ἄρα τὸ μὲν τοῦ πυρὸς χρῶμα φῶς ἐστι, οὐ μέντοι καὶ τὸ φῶς, πυρὸς ἐστι χρῶμα μόνον, ἀλλ' ἐνδέχεται μὴ μόνῳ μὲν ὑπάρχειν τῷ πυρὶ τὴν χρόαν ταύτην, εἶναι μέντοι χρῶμα τὸ φῶς αὐτοῦ. B οὐδενὶ γοῦν ἄλλῳ τὴν ὅρασιν αὐτοῦ συμβαίνει γίνεσθαι, πλὴν τῷ φωτί· καθάπερ καὶ τὴν τῶν ἄλλων σωμάτων ἁπάντων, τῇ τοῦ φωτὸς φαντασίᾳ. τὸ δὲ μέλαν χρῶμα συμβαίνει γίνεσθαι, ὅταν ὁ ἀὴρ καὶ τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς διακαυθῇ, διὸ καὶ πάντα τὰ καόμενα, μελαίνεται, καθάπερ ξύλα καὶ ἄνθρακες, σβεσθέντος τοῦ πυρὸς, καὶ ὁ C ἐκ τοῦ κεράμου καπνὸς, ἐκκρινομένου τοῦ ἐνυπάρχοντος ἐν τῷ κεράμῳ ὑγροῦ, καὶ καομένου. διὸ καὶ τοῦ καπνοῦ γίνεται μελάντατος, ὁ ἀπὸ τῶν πιόνων καὶ λιπαρῶν, οἷον ἐλαίου, καὶ πίττης, καὶ δᾳδὸς, διὰ τὸ μάλιστα ταῦτα κάεσθαι, καὶ συνέχειαν ποιεῖν. μέλανα δὲ καὶ ταῦτα γίνεται, δι' ὅσων ῥεῖ τὸ ὕδωρ, ὅταν βρυωθέντων, πρότερον ἀναξηρανθῇ τὸ ὑγρὸν, καθάπερ D καὶ τὰ ἐν τοῖς τοίχοις κονιάματα. ὁμοίως δὲ καὶ οἱ καθ' ὕδατος λίθοι. καὶ γὰρ οὗτοι βρυωθέντες, ὕστερον ἀποξηρανθέντες, τῷ χρώματι γίνονται μέλανες. τὰ μὲν οὖν ἁπλᾶ τῶν χρωμάτων, ταῦτα καὶ τοσαῦτά ἐστι.

Κεφάλαιον β.

ΤΑ δ' ἄλλα ἐκ τούτων τῇ κράσει, καὶ τῷ μᾶλλον καὶ τῷ ἧττον γιγνόμενα, πολλὰς καὶ ποικίλας ποιεῖ χρωμάτων φαντασίας. E κατὰ μὲν τὸ μᾶλλον καὶ [τὸ] ἧττον, ὥσπερ τὸ φοινικοῦν καὶ τὸ ἁλουργόν· κατὰ δὲ τὴν κρᾶσιν, ὥσπερ τὸ λευκὸν, καὶ τὸ μέλαν, ὅταν μιχθέντα, φαιοῦ ποιήσῃ φαντασίαν. διὸ τὸ μέλαν καὶ σκιερὸν, τῷ φωτὶ μιγνύμενον, φοινικοῦν. τὸ γὰρ μέλαν μιγνύμενον τῷ τε ἀπὸ τοῦ ἡλίου, καὶ τῷ ἀπὸ τοῦ πυρὸς φωτὶ, θεωροῦμεν ἀεὶ γιγνόμενον φοινικοῦν, F καὶ τὰ μέλανα πυρωθέντα πάντα, εἰς χρῶμα μεταβάλλοντα φοινικοῦν. αἵ τε γὰρ καπνώδεις φλόγες, καὶ οἱ ἄνθρακες, ὅταν ὦσι διακεκαυμένοι, φαίνονται χρῶμα ἔχοντες φοινικοῦν. τὸ δ' ἁλουργὲς, εὐανθὲς μὲν γίνεται καὶ λαμπρὸν, ὅταν τῷ μετρίῳ λευκῷ καὶ σκιερῷ κραθῶσιν ἀσθενεῖς αἱ τοῦ ἡλίου αὐγαί. διὸ καὶ περὶ ἀνατολὰς

Quòd autem lux ignis color sit, ex hoc persuasum esse potest, quòd nullus alius præter hunc ignis color inuenitur: & ob id solus hic per se visilis existit, cùm cætera visilia euadunt huius beneficio. Illud verò dignum animaduersione, nonnulla esse ab igne diuersa, quæque ignis naturam non habeant, & eatamen lucem reddere. Et si igitur ignis color lux sit, non tamen ignis solius color est. Nulli quippe alteri possumus ignis aspectum ferre acceptum, nisi luci: sicuti & omnium aliorum corporum, quà corporum imaginem præ se ferunt. Tunc verò nigrum colorem effici vsui venit, cùm aer, & aqua igne adusta sunt: propter quod & omnia adusta nigrescunt, sicut ligna, & carbones extincto iam igne. Eodem modo nigrescit fumus exhalans è laterculo fictili, cùm insitum laterculo humidum secernitur, & aduritur. Eadem ratio reddit fumum, qui à pinguibus, adipositque prouenit, nigerrimum: oleo puta, pice, tæda: quòd hæc maximè adurantur, continuásque partes faciant. Nigra quoque illa fiunt, per quæ aqua effluit, cùm primò irrigatis, ac perplutis humidum exiccatur: quod in tectoriis parietum est animaduerti. Pari pacto & aquatici lapides musco contecti primùm, mox arescentes atrum colorem contrahunt. Ex coloribus igitur tot sunt, ac tales, qui simplices vocantur.

CAPVT II.

AT reliqui ex horum fiunt temperamento, prout maior minórve fuerit admistio. Atque ita multas, variásque reddunt colorum species secundum plus & minus, id est, prout intensiores remissioresve fuerint admistiones: quale est puniceum, & purpureum. Dicti autem temperamenti exemplum sit album & nigrum, quæ commista imaginem præbent medij illius, quod φαιὸν Græci, nos pullum, siue fuscum appellare possumus. Proinde & nigrum, & vmbrosum luci permistum, puniceum ostendit. Si enim nigrum ei admisceatur, quę à Sole, vel ab igne emanat, luci, puniceum semper reddi intuemur: & nigra omnia simul ac incensa sunt, in puniceum abeunt colorē. Nā & fumidæ flammæ, & carbones, donec accensi sunt, puniceum colorē habēt. At purpureum illud, floridum, atq. illustre euadit si id mediocri albo, vmbrosóque, tenues, & iam fracti Solis radij cōtemperēt. Proinde in ortiua